adeò addideris ex vnguiculis, quæ tamen tria verba, verbuli illius Græci ἔμφασιν non eſt vt exprimant: Sed bene quòd nupta verba non poſſunt A niſi tectè enunciari. Atque vtinam hominum nequitia ea non eſſet, vt ſtatim intelligeret τὖπος (vt ait Æſchylus) ἐξ αἰνιγμάτων.

Τὴν μέν γε πρώτην διαλέγουσαν τὴν ὀπὴν	Primùm hanc foramen fortè quum pertunderet
Κατέλαβον, ᾗ τοῦ Πανός ἐστι ταὐλίον.	Modò apprehendi, ſepta quà ſunt Incubi,
Τὴν δ' ἐκ τροχιλίας αὖ κατειλυσπωμένην.	Iſtámq; tractim deuolutam è trochlea,
Τὴν δ' αὐτομολοῦσαν. τὴν δ' ἐπὶ στρουθοῦ μίαν B	Et illam ad hoſtes transfugam: vnam in paſſere
Ἤδη πέτεσθαι διανοουμένην κάτω	Iam cogitantem conuolare infra, & domum
Εἰς Ὀρσιλόχου χθὲς, τῶν τριχῶν κατέσπασα.	Inuadere Orſilochi retraxi crinibus;
Πάσας τε προφάσεις ὥστ' ἀπελθεῖν οἴκαδε	Domuitionis nempe prætextum trahunt
Ἕλκουσιν. ἤδη γοῦν τις αὐτῶν ἔρχεται.	Quemcunque: & iſta quærit hinc faceſſere.
Αὕτη σὺ ποῖ θεῖς; Γυν. οἴκαδ' ἐλθεῖν βούλομαι.	Quò curris? heus tu? quóve abis? MVL. domum peto,
Οἴκοι γάρ ἐστιν ἔριά μοι Μιλήσια	Lanæ mihi ſunt nam domi Mileſiæ
Ὑπὸ τῶν σέων κατακοπτόμενα. Λυ. ποίων σέων; C	Vermes minuti quas ſecant. LVS. Quid verminas?
Οὐκ εἶ πάλιν; Γυν. ἀλλ' ἥξω ταχέως νὴ τὼ θεώ,	Potin' redire? MVL. pol ſtatim reuertero,
Ὅσον διαπετάσασα ἐπὶ τῆς κλίνης μόνον.	Super cubili ſi modò has extendero.
Λυ. Μὴ διαπετάννυε, μὴ δ' ἀπέλθῃς μηδαμῇ.	LVS. Nec in cubili extende, nec pedem hinc moue,
Ἀλλ' ἐῶ' πολέσθαι τἄρια, ἢν τούτου δέῃ.	Lanam perire ſi tibi eſt vſus, ſinas.
Αλλ. Γυν. Τάλαιν' ἐγώ. τάλαινα. τῆς ἀμοργίδος.	AL. MVL. Heu me miſellam, cui ſeges byſſi intus eſt
Ἣν ἄλοπον οἴκοι καταλέλοιπα. Λυ. αὕθ' ἑτέρα D	Nec delibrata. LVS. Rurſus en tibi alteram
Ἐπὶ τὴν ἄμοργιν τὴν ἄλοπον ἐξέρχεται.	Ad corticatam quæ faceſſit cannabin,
Χώρει πάλιν δεῦρο. Γυν. ἀλλὰ νὴ τὴν φωσφόρον	Reuortere huc. AL. MVL. per Noctilucam, poſtquam ego
Ἐγὼ δ' ἀποδείρασ' αὐτίκα μάλ' ἀπέρχομαι.	Deglubſero illam, huc ocyus conceſſero.
Λυ. Μὴ μὴ ἀποδείρῃς. ἢν γὰρ ἄρξῃ τούτου σὺ	LVS. Deglubere auffer, quippe ad exemplum tuum,
Ἑτέρα γυνὴ ταὐτὸν ποιεῖν βουλήσεται.	Idem alia iuris poſtulabit fœmina.
Αλλ. Γυν. Ὦ πότνι' Εἰλείθυι' ἐπίσχες τοῦ τόκου E	AL. MVL. Lucina quæſo, Diua partum ſuſtine
Ἕως ἂν εἰς ὅσιον μόλω 'γὼ χωρίον.	Ad teſqua donec templa ſanctè acceſſero.
Λυ. Τί ταῦτα ληρεῖς; Γυν. αὐτίκα μάλα τέξομαι.	LVS. Quid iſta tu nugaris? AL. MV. Inſtat partio.
Λυ. Ἀλλ' οὐκ ἐκύεις σύ γε χθές. Γυν. ἀλλὰ τήμερον.	LVS. At non eras heri inciens. AL. M. hodie fui,
Ἀλλ' οἴκαδέ μ' ὡς τὴν μαῖαν ὦ Λυσιστράτη	Sed iam domum me quam citò Luſiſtrata
Ἀπόπεμψον ὡς τάχιστα. Λυ. τίνα λόγον λέγῃς,	Ad obſtetricem mitte. LVS. Honeſta oratio
Τί τοῦτ' ἔχεις τὸ σκληρόν; Γυν. ἄρρεν παιδίον. F	Quid duri habes hic? AL. M. Maſculum infantem puta.
Λυ. Μὰ τὴν Ἀφροδίτην οὐ σύ γ' ἀλλὰ χάλκειον.	LVS. Haud tu quidem illum, per Cyprin, ſed ferreum,
Ἔχειν τι φαίνῃ κοῖλον. εἴσομαι δ' ἐγώ.	Atq; id videtur concauum, experiar modò:
Ὦ καταγέλαστ' ἔχουσα τὴν ἱερὰν κυνῆν	O rem iocoſam! caſſidem ſacram gerens
Κυεῖν ἔφασκες; Αλλ. Γυν. καὶ κυῶ γε νὴ Δία.	Vterum inquiebas ferre te. AL. M. Et certè fero.
Λυ. Τί δῆτα ταύτην ἔχεις; Γυν. ἵνα μ' εἰ καταλάβοι G	LVS. Cur hanc ferebas? MVL. partitudo vt ſi occupet
Ὁ τόκος ἐν πόλει, τέκοιμ' εἰς τὴν κυνῆν.	In ciuitate, enixa fœtum congeram
Ἐσβᾶσα ταύτην, ὥσπερ αἱ περιστεραί.	In caſſidem iſtam ceu palumbes factitant.